# MOSCHUS

## I

λαμπάδα θεὶς καὶ τόξα βοηλάτιν εἵλετο ῥάβδον
οὖλος Ἔρως, πήρην δ' εἶχε κατωμαδίην,
καὶ ζεύξας ταλαεργὸν ὑπὸ ζυγὸν αὐχένα ταύρων
ἔσπειρεν Δηοῦς αὔλακα πυροφόρον·
εἶπε δ' ἄνω βλέψας αὐτῷ Διὶ "πλῆσον ἀρούρας,
μή σε τὸν Εὐρώπης βοῦν ὑπ' ἄροτρα βάλω".

# PHANIAS

## I

ναὶ Θέμιν, ἀκρήτου καὶ τὸ σκύφος ᾧ σεσάλευμαι,
Πάμφιλε, βαιὸς ἔχει τὸν σὸν ἔρωτα χρόνος·
ἤδη γὰρ καὶ μηρὸς ὑπὸ τριχὶ καὶ γένυς ἡβᾷ,
καὶ πόθος εἰς ἑτέρην λοιπὸν ἄγει μανίην.
ἀλλ' ὅτε ⟨σοι⟩ σπινθῆρος ἔτ' ἴχνια βαιὰ λέλειπται,
φειδωλὴν ἀπόθου. καιρὸς Ἔρωτι φίλος.

## II

σκίπωνα προποδαγὸν ἱμάντα τε καὶ †παρακειται†
νάρθηκα, κροτάφων πλάκτορα νηπιάχων,
κέρκον τ' †εὐόλπαν† φιλοκαμπέα καὶ μονόπελμον
συγχίδα καὶ στεγάναν κρατὸς ἐρημοκόμου